BA ὑγιαίνων ἐλεύσεται, καὶ οἱ ὀφθαλμοί σου ὄψονται αὐτόν·
[22]ἄγγελος γὰρ ἀγαθὸς συμπορεύσεται αὐτῷ, καὶ εὐοδωθήσεται ἡ 22
ὁδὸς αὐτοῦ, καὶ ὑποστρέψει ὑγιαίνων. [23]καὶ ἐπαύσατο κλαίουσα. 23
[1]Οἱ δὲ πορευόμενοι τὴν ὁδὸν ἦλθον ἑσπέρας ἐπὶ τὸν Τίγριν πο- 6
ταμὸν καὶ ηὐλίζοντο ἐκεῖ. [2]τὸ δὲ παιδάριον κατέβη περικλύσασθαι, 2
καὶ ἀνεπήδησεν ἰχθὺς ἀπὸ τοῦ ποταμοῦ καὶ ἐβουλήθη καταπιεῖν
τὸ παιδάριον. [3]ὁ δὲ ἄγγελος εἶπεν αὐτῷ Ἐπιλαβοῦ τοῦ ἰχθύος. καὶ 3
ἐκράτησεν τὸν ἰχθὺν τὸ παιδάριον καὶ ἀνέβαλεν αὐτὸν ἐπὶ τὴν γῆν.
[4]καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος Ἀνάτεμε τὸν ἰχθὺν καὶ λαβὼν τὴν καρ- 4
δίαν καὶ τὸ ἧπαρ καὶ τὴν χολὴν θὲς ἀσφαλῶς. [5]καὶ ἐποίησεν 5
τὸ παιδάριον ὡς εἶπεν αὐτῷ ὁ ἄγγελος, τὸν δὲ ἰχθὺν ὀπτήσαντες
ἔφαγον. — [6]καὶ ὥδευον ἀμφότεροι, ἕως ἤγγισαν ἐν Ἐκβατάνοις. 6
[7]καὶ εἶπεν τὸ παιδάριον τῷ ἀγγέλῳ Αζαρια ἄδελφε, τί ἐστιν τὸ ἧ- 7
παρ καὶ ἡ καρδία καὶ ἡ χολὴ τοῦ ἰχθύος; [8]καὶ εἶπεν αὐτῷ Ἡ καρδία 8

22 συμπορευσεται] σ $2^{0}$ > A

---

S καὶ ὑγιαίνων ἐλεύσεται πρὸς ἡμᾶς, καὶ οἱ ὀφθαλμοί σου ὄψονται
ἐν τῇ ἡμέρᾳ, ᾗ ἂν ἔλθῃ πρὸς σὲ ὑγιαίνων· [22]μὴ λόγον ἔχε, μὴ 22
φοβοῦ περὶ αὐτῶν, ἀδελφή· ἄγγελος γὰρ ἀγαθὸς συνελεύσεται
αὐτῷ, καὶ εὐοδωθήσεται ἡ ὁδὸς αὐτοῦ, καὶ ὑποστρέψει ὑγιαίνων.
[23]καὶ ἐσίγησεν κλαίουσα. 23
[1]Καὶ ἐξῆλθεν τὸ παιδίον καὶ ὁ ἄγγελος μετ' αὐτοῦ, καὶ ὁ κύων 6
ἐξῆλθεν μετ' αὐτοῦ καὶ ἐπορεύθη μετ' αὐτῶν· καὶ ἐπορεύθησαν
ἀμφότεροι, καὶ ἔτυχεν αὐτοῖς νὺξ μία, καὶ ηὐλίσθησαν ἐπὶ τοῦ Τί-
γριδος ποταμοῦ. [2]καὶ κατέβη τὸ παιδίον περινίψασθαι τοὺς πόδας 2
εἰς τὸν Τίγριν ποταμόν, καὶ ἀναπηδήσας ἰχθὺς μέγας ἐκ τοῦ ὕδα-
τος ἐβούλετο καταπιεῖν τὸν πόδα τοῦ παιδαρίου, καὶ ἔκραξεν. [3]καὶ 3
ὁ ἄγγελος τῷ παιδαρίῳ εἶπεν Ἐπιλαβοῦ καὶ ἐγκρατὴς τοῦ ἰχθύος
γενοῦ. καὶ ἐκράτησεν τὸ παιδάριον τοῦ ἰχθύος καὶ ἀνήνεγκεν αὐτὸν
ἐπὶ τὴν γῆν. [4]καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος Ἀνάσχισον τὸν ἰχθὺν καὶ 4
ἔξελε τὴν χολὴν καὶ τὴν καρδίαν καὶ τὸ ἧπαρ αὐτοῦ καὶ ἀπόθες
αὐτὰ μετὰ σαυτοῦ καὶ τὰ ἔγκατα ἔκβαλε· ἔστιν γὰρ εἰς φάρμακον
χρήσιμον ἡ χολὴ καὶ ἡ καρδία καὶ τὸ ἧπαρ αὐτοῦ. [5]καὶ ἀνασχίσας 5
τὸ παιδάριον τὸν ἰχθὺν συνήγαγεν τὴν χολὴν καὶ τὴν καρδίαν καὶ
τὸ ἧπαρ καὶ ὤπτησεν τοῦ ἰχθύος καὶ ἔφαγεν καὶ ἀφῆκεν ἐξ αὐτοῦ
ἡλισμένον. — [6]καὶ ἐπορεύθησαν ἀμφότεροι κοινῶς, ἕως ἤγγισαν 6
εἰς Μηδίαν. [7]καὶ τότε ἠρώτησεν τὸ παιδάριον τὸν ἄγγελον καὶ 7
εἶπεν αὐτῷ Αζαρια ἄδελφε, τί τὸ φάρμακον ἐν τῇ καρδίᾳ καὶ τῷ
ἥπατι τοῦ ἰχθύος καὶ ἐν τῇ χολῇ; [8]καὶ εἶπεν αὐτῷ Ἡ καρδία 8

6 2 fin.] + απο του φοβου $S^s$ || 8 η καρδια] την -διαν $S^c$, sed corrector posterior η -δια restituit